TEZAUR LITURGIC

**30 AUGUST**

**ANTONIOS MARKOU**

# PARACLISUL SF.CUVIOASE VRIENA DE LA NISIBE

**ATENA,2020**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Παρακλητικός Κανών Ὁσίας ΒΡΥΑΙΝΗΣ τῆς ἐν Νισίβῃ

**Ποίημα Ἀντώνιος Μάρκου**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁσιωθεῖσα ἐν ἀσκήσει τελείᾳ* Μήτηρ ἐδείχθης κοινοβίου παρθένων,* ἐν αἷς ἡ Φεβρωνία ἡ πανάριστος,* δάκρυα προσφέρουσα,* ὡς ἐκείνη τό αἷμα,* πρός Νυμφίον Κύριον* τῶν ψυχῶν καί σωμάτων·* διό τιμᾶσαι ὑφ᾽ ἡμῶν ὡς ἀληθῶς,* θεία Βρυαίνη,* Ὁσίων λευκάνθεμον.

Δόξα. Ἀπολυτίκιον. Ἦχος γ΄. Τὴν ὡραιότητα. Ποίημα Ἱερομ. Ἰω. Κατουνακιώτου.

Ἐν τῇ ἀσκήσει σου* πάσας ἐξέπληξας,* τῇ ταπεινώσει δέ* καὶ τῇ πρᾳότητι* καὶ τῇ ἀγάπῃ πρὸς Θεόν* ἀνῆλθες τῶν ἐπιγείων·* ὅθεν σε ὁ Κύριος* ἡγουμένην κατέστησε,* βόσκουσα τὰ ἀρνία Του* τοῖς λογίοις τοῦ Πνεύματος·* διὸ Ὁσία Μῆτερ Βρυαίνη,* πρέσβευε ὑπὲρ τῶν εὐφημούντων σε.

Καί νῦν. Θεοτοκίον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,* τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι·* εἰμὴ γὰρ Σὺ προΐστασο

πρεσβεύουσα,* τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;* Τίς δὲ διεφύλαξεν,* ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ·* Σοὺς γὰρ δούλους σώζεις ἀεί* ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *Ἀντωνίου.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἡλίου ἀκτῖσι τοῦ νοητοῦ* λαμπομένη, Μῆτερ,* τῶν παθῶν μου τὸν σκοτασμόν* λῦσον, Βρυαίνη πανοσία,* φωτὶ τῶν σῶν θεοπειθῶν παρακλήσεων.

Ναμάτων πληρουμένη τῶν νοητῶν* βλῦσον ἡμῖν πᾶσι* τὸν τῆς χάριτος γλυκασμόν,* πᾶσαν ἀποπλύνοντα πικρίαν,* ἐκ τῶν ψυχῶν ἡμῶν, Βρυαίνη, δεόμεθα.

Στεφάνῳ κοσμουμένη ἀσκητικῷ,* ὡς Ὁσία, Μῆτερ,* τοῦ Σωτῆρος περιφανής,* Βρυαίνη ἀπαύστως ἐκδυσώπει* ὑπὲρ ἡμῶν τῶν πιστῶς εὐφημούντων σε.

Θεοτοκίον.

Ἀφράστως τεκοῦσα τὸν Λυτρωτήν,* Χριστὸν τὸν Σωτῆρα,* Παντευλόγητε Μαριάμ,* λύτρωσαι παθῶν τῶν ἀκαθάρτων* τὴν ταπεινὴν μου ψυχὴν ἱκετεύω Σε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Δόξης ἔτυχες θείας,* ὡς Παρακλήτου τό σκήνωμα·* ὅθεν ἀδοξίας με πάσης* παθῶν ἀπάλλαξον,* Βρυαίνη Μῆτερ σεπτή,* καὶ ἐν τῷ φόβῳ Κυρίου* θείως πολιτεύεσθαι* δίδου μοι δύναμιν.

Ἀνωτέρους συντήρει* καὶ ἀβλαβεῖς ἅπαντας,* πάσης προσβολῆς καὶ μανίας* βελῶν τοῦ ὄφεως,* τοὺς καταφεύγοντας* τῇ σῇ θερμῇ προστασίᾳ* καὶ σὲ μακαρίζοντας,* Βρυαίνη πάνσεμνε.

Σωτηρίαν ἐξαίτει* παρὰ Θεοῦ ἅπασι* τοῖς ἐν ἀδιστάκτῳ καρδίᾳ* ἀναβοῶσί σοι·* χαίροις Νισίβεως* τῆς πόλεως ἡ δόξα,* Ἐκκλησίας καύχημα* καὶ γέρας ἄφθαρτον.

Θεοτοκίον.

Ναός ὕψιστος, θρόνος* καὶ ὑψηλὸς θάλαμος* τοῦ Παμβασιλέως τῆς δόξης* καὶ Παντοκράτορος* ὤφθης, Πανάμωμε·* διὸ κἀμὲ σκεῦος δεῖξον,* τῆς Αὐτοῦ χρηστότητος* καθικετεύω Σε.

Διάσωσον,* Βρυαίνη Μῆτερ, ταῖς σαῖς πρεσβείαις,* ἀπὸ πάσης ἡμᾶς ἀνάγκης καὶ θλίψεως,* τοὺς προσιόντας τῇ θείᾳ σου ἀντιλήψει.

Ἐπίβλεψον,* ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε,* ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν* καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Δακρύων ῥοαῖς* τὸν ὄφιν κατεπόντισας* καὶ δρόσον ἡμῖν* οὐράνιον ἀπέσταξας,* Βρυαίνη καλλιπάρθενε·* διὸ σβέσον παθῶν ἡμῶν τοὺς ἄνθρακας,* πρεσβευτικαῖς σου ἀρδείαις πρὸς Χριστόν,* τὸν σὲ, Μῆτερ Ὁσία, χαριτώσαντα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Νοερῶς εἰκονίζω σε,* ὅλως τετρωμένος τῷ θείῳ πόθῳ σου,* μὴ παρίδῃς τόν ἱκέτην σου,* ἀλλὰ ἴασαί μου τὰ συντρίμματα.

Ζωτικαῖς ἐπισκέψεσι* τῆς ζωῆς τὰς τρίβους ἡμῶν κατεύθυνον* πρὸς Θεοῦ τὸ θεῖον θέλημα,* πανοσία Μῆτερ ἀξιάγαστε.

Ἀσθενοῦσι τὴν ἴασιν* καὶ τοῖς θλιβομένοις χαρὰν τὴν κρείττονα* τοῖς προστρέχουσι τῇ σκέπῃ σου,* δὶδου οὐρανόθεν, καλλιπάρθενε.

Θεοτοκίον.

Τόν ἐλέους αἰτούμενον* ἀπό Σοῦ καί μόνου, Θεὲ καί Κύριε,* ἄνες ἄφες μοι συγχώρησον,* Ἰησοῦ, πρεσβείαις τῆς τεκούσης Σε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Νέκρωσον ἡμῶν* ζωηφόροις ἱκεσίαις σου,* τῆς σαρκός καὶ τοῦ νοὸς τὰς ἐκτροπάς* καὶ μετάνοιαν γνησίαν, Μῆτερ, δός ἡμῖν.

Ἤσκησας στερρῶς* καὶ καθεῖλες τὸν ἀντίπαλον,* οὗ τῆς ῥύμης ἀπολύτρωσαι ἡμᾶς* τοὺς προστρέχοντας, Βρυαίνη, τῇ πρεσβείᾳ σου.

Θραῦσον τοῦ ἐχθροῦ* καθ’ ἡμῶν τὰ μηχανήματα,* τῇ θερμῇ σου, ὦ Βρυαίνη, ἀρωγῇ,* ἐν εἰρήνῃ τὴν ζωὴν ἡμῶν φυλάττουσα.

Θεοτοκίον.

Ὡράϊσον, Ἁγνή,* τάς ψυχάς τῶν προσπιπτόντων Σοί,* τοῦ ὁρμῶντος καθ’ ἡμῶν μανιωδῶς* καταργοῦσα προσβολάς καί μηχανήματα.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Καθεῖλες* ἀσκητικῇ σου ἐντάσει* τὸν ἀρχέκακον ἐχθρὸν ἐν Νισίβῃ·* νεκροποιῶν ἡμᾶς πόνων καὶ νόσων* καὶ πάσης ἄλλης φθορᾶς ὅθεν λύτρωσαι,* ταῖς πρὸς Χριστόν θερμαῖς λιταῖς* καί τὸν Σωτῆρα, Βρυαίνη, ἱκεσίαις σου.

Ἐδέξω* θαυμάτων χάριν πλουσίαν,* χορηγίᾳ τῇ τοῦ Πνεύματος, Μῆτερ·* ὅθεν δαιμόνων ἐλαύνεις τὴν ῥύμην* καὶ τοῖς αἰτοῦσι παρέχεις ἑκάστοτε,* Βρυαίνη Μήτηρ ἀγαθή,* τὴν θερμήν σου ἐν πᾶσι βοήθειαν.

Σαρκός μου* νέκρωσον κίνημα ἅπαν* καὶ νοὸς τὰς ῥυπαρὰς ἐνθυμήσεις* παῦσον καὶ πόρρω ἀπέλασον, Μῆτερ,* καὶ καθαρὰς τὰς αἰσθήσεις μου φύλαξον,* ὡς ἔχουσα παρὰ Χριστοῦ,* ὄντως χάριν Βρυαίνη ἐξαίρετον.

Θεοτοκίον.

Ναός Κυρίου* ἐνυπάρχουσα, Κόρη,* καὶ Ἀγγέλων Βασιλὶς καὶ ἀνθρώπων,* τήν ἐν ἐμοὶ βασιλεύουσαν λῦσον* καὶ θλίβουσάν με κακίαν ἐκρίζωσον* καὶ φύτευσόν μου τῷ νοΐ* τὸν σωτήριον φόβον τοῦ Κτίσαντος.

Διάσωσον,* Βρυαίνη Μῆτερ, ταῖς σαῖς πρεσβείαις,* ἀπὸ πάσης ἡμᾶς ἀνάγκης καὶ θλίψεως,* τοὺς προσιόντας τῇ θείᾳ σου ἀντιλήψει.

Ἄχραντε* ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως* ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,* ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου.

Τῆς σωφροσύνης τὸν πλοῦτον φυλάττουσα,* ὑπὲρ αὐτῆς τὸ σαρκίον κατέτηξας·* καὶ νῦν, Βρυαίνη ἀξιάγαστε,* ἐν εὐσεβείᾳ καὶ πάσῃ σεμνότητι* τοὺς πόθῳ τιμῶντάς σε φύλαττε.

Προκείμενον. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. κε΄ 1-13)

Εἶπεν ὁ Κύριος τήν παραβολήν ταύτην. Ὁμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾿ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾿ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα. Ταῖς τῆς Σῆς Ὁσίας...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Βρυαίνη πανθαύμαστε,* τῆς σωφροσύνης λυχνία,* πᾶσι διαυγάζουσα* τοῦ Ἁγίου Πνεύματος* χάριν ἄφθονον,* σκοτασμοῦ λύτρωσαι* παθῶν ἀκαθάρτων* τοὺς πιστῶς σὲ μακαρίζοντας* καὶ ἀποδίωξον* ἀφ’ ἡμῶν ἐχθρὸν τὸν πολέμιον* καὶ σαρκὸς τὴν πύρωσιν* δρόσῳ τῆς θερμῆς προστασίας σου* σβέσον καὶ παράσχου* ἡμῖν ἀναψυχὴν τὴν ἀληθῆ* καὶ τῶν πταισμάτων ἐξαίτησαι* πᾶσι τὴν συγχώρησιν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Προσευχῇ καί νηστείᾳ,* ὕμνοις τε καί θυσίαις,* Μῆτερ, ἐφήλκυσας,* Χριστοῦ τήν θείαν χάριν* καί ἔλεος τό μέγα,* διό ἀνέθηκας,* τό σῶμα σου καί τήν ψυχήν* τῷ Κυρίῳ, Βρυαίνη πανθαύμαστε.

Ἐκ δεινῆς ῥαθυμίας* καί παθῶν τυραννίδος* ἡμᾶς ἀπάλλαξον* καί δίδου εὐθυπόρως* τήν τρίβον βηματίζειν* ἐντολῶν τοῦ Θεοῦ ἡμῶν,* ὡς ἄν τῆς ἄνω ζωῆς* τύχωμεν, ὦ Βρυαίνη.

Ὄμβροις θείων χαρίτων* τῆς θερμῆς σου πρεσβείας* πρὸς τὸν Οἰκτήρμονα,* τὸ πῦρ τῶν νοσημάτων* καὶ τῶν παθῶν τὴν φλόγα,* πανοσία, κατάσβεσον,* τῶν ἐκζητούντων πιστῶς* τὴν σὴν ἐπιστασίαν.

Θεοτοκίον.

Ἴδε ἐπί πρεσβείαν,* Κυρία Θεοτόκε,* Μητρός Βρυαίνης,* διό ἐκδυσώπησον,* Κύριον καί Θεόν Σου* καί ἡμῶν τόν Σωτῆρα,* ὅπως οἰκτείρῃ με καί σώσῃ με,* ἐκ τῶν κινδύνων καί δεινῶν,* ἵνα πόθῳ κἀγώ εὐλογήσω Σε.

ᾨδὴ η΄. Τὸν Βασιλέα.

Ὁσία Μῆτερ,* τὸν Βασιλέα καὶ Κτίστην* καθικέτευε δεόμεθα πάντες,* ὅπως ῥυσθῶμεν* πυρὸς τοῦ αἰωνίου.

Ῥοῦν ἁμαρτίας* στῆσον ταῖς σαῖς ἱκεσίαις,* κατακλύζοντα ἀθλίως τὴν ψυχήν μου* καὶ χαρίτων ὄμβοις* κατάρδευσόν με, Μῆτερ.

Νομίμου βίου* καὶ καθαρᾶς πολιτείας,* πρὸς ἐγρήγορσιν ἔγειρον, Βρυαίνη,* τοὺς κεκαρωμένους* ὕπνῳ τῆς ῥαθυμίας.

Θεοτοκίον.

Ὄρος γενοῦ μοι,* θείας προστασίας* καί τῷ οἰκτρῷ Σου δούλῳ μεσιτείᾳ,* ἵνα Σὲ δοξάζω* τὴν Κεχαριτωμένην.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Γαλήνιον δὸς βίον,* φύλαττε μοι Σῶτερ,* τῆς Σῆς Ὁσίας λιταῖς τὸν προσφέροντα* τόνδε τὸν ὕμνον καὶ πάντας περίσωζε.

Ὑπέρτερόν με δεῖξον* τῆς τοῦ βροτοκτόνου* ἐπιβουλῆς καὶ μανίας, πανόσιε,* τὸν εὐλαβῶς σοι τὸν ὕμνον τοῦτον ὑφάναντα.

Καταύγασον τὰς κόρας,* Μῆτερ, τῆς ψυχῆς μου* πεπωρωμένας καὶ τρέχειν ἐνίσχυσον,* πρὸς τρίβους θείας τὸν σὲ μακαρίζοντα.

Θεοτοκίον.

Ὑψίστου χαῖρε Μῆτερ,* Κεχαριτωμένη·* χαῖρε Παρθένε, ἡμῶν καταφύγιον* καὶ σωτηρία τοῦ κόσμου καὶ τεῖχος ἄσειστον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς* μακαρίζειν Σε τὴν Θεοτόκον,* τὴν ἀειμακάριστον καὶ παναμώμητον* καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τὴν τιμιωτέραν τῶν Χερουβείμ* καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,* τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Χαίροις τῆς Νισίβεως ἱερά* Μήτηρ κοινοβίου* τῶν Παρθένων καί τῆς σεπτῆς* Φεβρωνίας Μήτηρ* τῆς Ὁσιοπαρθένου,* ἧς τίμιον τό αἷμα* Χριστῷ προσέφερεν.

Εὐλογοῦμεν, Μῆτερ, τήν ἱεράν* μνήμην σου καί θείαν,* ἐξαιτούμενοι σήν σεπτήν* πρός Κύριον πρεσβείαν* ἅμα καί μεσιτείαν,* ἵνα τύχωμεν πάντες* ἡμεῖς ἀφέσεως.

Ἔλλαμψιν αἴτησαι ἐκ Θεοῦ* καὶ πταισμάτων λύσιν* καὶ κινδύνων ἀποφυγήν* ἡμῖν δωρηθῆναι* τοῖς πόθῳ ἐκτελοῦσι* τὴν σήν ἁγίαν μνήμην,* Βρυαίνη πάνσεμνε.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,*
Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,*
οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου,*
ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.
Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,*
πάσης γάρ ἀπολογίας ἀποροῦντες,*
ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ,*
οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,*
ἐπί Σοί γάρ πεποίθαμεν.*
Μή ὀργισθῇς ἡμῖν σφόδρα,*
μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.*
Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,*

πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικ εκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,*
εὐλογημένη Θεοτόκε,*
ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,*
ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·*
Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις. Τῶν δέ Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τῆς Ὁσίας κ αί χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Δήμοις τῶν Ἀγγέλων ἱεροῖς* καί χοροῖς Ἁγίων ἁπάντων* περιχορεύουσα,* Βρυαίνη παναοίδιμε,* καί ἀπολαύουσα* χαρμονῆς καί λαμπρότητος* τῆς ἀκαταλήπτου,* πρεσβεύειν δεόμεθα τῷ Παντοκράτορι,* πάσης ἡμᾶς ῥύεσθαι βλάβης* καί λαβεῖν πταισμάτων τήν λύσιν* τοῖς εἰλικρινῶς σε μακαρίζουσι.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς,* ἀπό πάσης ἀνάγκης και θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου,* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,*
φύλαξόν με ὑπό τήν σκέπην Σου.

Στίχοι.

*Γραμμάς τόν σύραντα πτωχάς Βρυαίνη,*

*Σκέπε καί περίσωζε ἀπό παντός κινδύνου.*

*Ἐφραίμ δέ τόν αἰτήσαντα, Πνευματικόν τῆς Κύκκου,*

*Πολίτην ἀνάδειξον τῆς ἄνω Βασιλείας.*

